μοι τῷ ἡλίῳ. οἱ δὲ περὶ σὲ ταῖς ἀκτῖσιν. ὥσπερ γὰρ ὁ
ἥλιος λαμπρὸς καὶ διαυγὴς ὑπάρχει, οὕτω καὶ σὺ
λαμπρῶς καὶ διαυγὴς ὑπάρχεις. καὶ καθαρὸς εἶ ὡς
ὁ ἡλιακὸς κύκλος. οὗτοι δὲ διάπυροι ὡς αἱ τοῦ ἡλίου
ἀκτῖνες. ὁ δὲ νεκτεναβὼ ἔφη, ὥστε οἶμαι κατὰ τὴν
ἐμὴν βασιλείαν μηδὲν εἶναι λυκούργῳ. ὁ δὲ αἴσωπος
μειδιάσας ἔφη, μὴ εὐχερῶς ἐκεῖνον πρόσφερε, βα-
σιλεῦ. πρὸς δὲ τὸ ἴδιον ἔθνος ἐπιδεικνυμένη ὡς ἡ-
λίου καὶ σελήνης αὐγὴ φαίνει ἡ ὑμῶν βασιλεία. ἐὰν
δὲ λυκοῦργος ὀργισθῇ ταύτης τὴν λαμπρότητα ἀφανῆ
ποιήσει. πάντων γὰρ ἐν ὑπεροχῇ διαφέρει. κατα-
πλαγεὶς δὲ νεκτεναβὼ τὴν εὐστοχίαν τῶν λόγων αὐτοῦ,
μετ' ὀλίγον ἔφη, ἤνεγκας ἡμῖν τοὺς μέλλοντας οἰκο-
δομεῖν τὸν πύργον; αἴσωπος ἔφη, ἕτοιμοί εἰσιν ἐὰν